p. 473d. ἄρτι δὲ ἐμαρτύρου.

ἀντὶ τοῦ μαρτυράς μοι Ἀθηναίους ἔφερες. 4

p. 473e. τί τοῦτο, ὦ Πῶλε, γελᾷς.

ἐγέλασεν ὁ Πῶλος ἐπὶ τούτῳ· λέγει οὖν ὁ Σωκράτης, ὅτι 5 μὴ καὶ ὁ γέλως ἄλλος ἔλεγχός ἐστι καὶ διὰ τοῦ γέλωτος ἐλέγχεις· ἰστέον γάρ, ὅτι Γοργίου ἐστὶ παράγγελμα, ὅτι εἰ μὲν ὁ ἐναντίος σπουδαῖα λέγει, γέλα, καὶ ἐκκρούεις αὐτόν. εἰ δὲ ἐκεῖνος γελᾷ σοῦ σπουδαῖα λέγοντος, σύντεινον σαὐτόν, ἵνα μὴ φανῇ αὐτοῦ ὁ γέλως· καὶ ὁ Πῶλος οὖν ὡς μαθητὴς τοῦ Γοργίου ἐγέλασεν.

p. 473e. ἃ οὐδεὶς ἂν φήσειεν ἀνθρώπων.

ἰδοὺ ἐπὶ τὸν πολὺν ἄνθρωπον φέρει τὴν μαρτυρίαν. 6

p. 474a. ἕνα μὲν παρέχεσθαι μάρτυρα ἐπίσταμαι.

ἰδοὺ τὸ ἐπίσταμαι, ἵνα δείξῃ, ὅτι ἐπὶ πολλῶν ἐπιστημονικῶς οὐ δύνατον διαλεχθῆναι· εἷς δὲ μάρτυς ἀκολουθῶν ταῖς κοιναῖς ἐννοίαις μέγας ἐστίν· οὕτω γοῦν καὶ ὁ Ἡράκλειτος ἔλεγεν· εἷς ἐμοὶ ἀντὶ πολλῶν, καὶ λέγω τοῦτο καὶ παρὰ Περσεφόνῃ ὤν. 7

p. 474b. ἐγὼ δέ γε οὔτε ἐμέ.

ἐπὶ πολὺ λέγει αὐτῷ, ὅτι οὐδὲ σὺ οὐδὲ ἄλλος ἀδικεῖν θέλει, ἵνα συντονώτερος ὁ Πῶλος γενόμενος ἀγαπήσῃ τὸ τελείως προσδιαλεχθῆναι τῷ Σωκράτει. 8

---

16 Fr. d. Vorsokr. p. 56, 28

---

6 mg. ση. τὴν πανουργίαν Γοργίου τὴν ἐν ταῖς διαλέξεσιν
16 mg. ση. τὸν Ἡρακλείτου λόγον τὸν εἷς ἀντὶ πολλῶν

---

13 παρέχεσθαι **M** παρασχέσθαι codd. Plat.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408547804/111 UNIVERSITÄT LEIPZIG